γὰρ ταῖς ἄλλαις πολιτείαις οὐχ ὁ ἀόριστος ἄρχων ἐκκλησιαστής ἐστι καὶ δικαστής, ἀλλ' ὁ κατὰ τὴν ἀρχὴν ὡρισμένος. τούτων γὰρ ἢ πᾶσιν ἢ τισὶν ἀποδέδοται τὸ βουλεύεσθαι καὶ δικάζειν, ἢ περὶ πάντων, ἢ περὶ τινῶν. τίς μὲν οὖν ἐστιν ὁ πολίτης, ἐκ τούτων φανερόν. ᾧ γὰρ ἐξουσία κοινωνεῖν ἀρχῆς βουλευτικῆς, ἢ κριτικῆς, πολίτην ἤδη λέγομεν εἶναι ταύτης τῆς πόλεως· πόλιν δὲ, τὸ τῶν τοιούτων πλῆθος ἱκανὸν πρὸς αὐτάρκειαν ζωῆς, ὡς ἁπλῶς εἰπεῖν.

Κεφάλαιον β.

ΟΡίζονται δὴ πρὸς τὴν χρῆσιν πολίτην τὸν ἐξ ἀμφοτέρων πολιτῶν, καὶ μὴ θατέρου μόνον, οἷον πατρὸς ἢ μητρός· οἱ δὲ καὶ τοῦτ' ἐπὶ πλέον ζητοῦσιν, οἷον ἐπὶ πάππους δύο, ἢ τρεῖς, ἢ πλείους. οὕτω δὴ ὁριζομένων πολιτικῶς καὶ ταχέως, ἀποροῦσί τινες τὸν τρίτον ἐκεῖνον ἢ τέταρτον, πῶς ἔσται πολίτης. Γοργίας μὲν οὖν ὁ Λεοντῖνος, τὰ μὲν ἴσως ἀπορῶν, τὰ δ' εἰρωνευόμενος, ἔφη, καθάπερ ὅλμοις εἶναι τοὺς ὑπὸ τῶν ὁλμοποιῶν πεποιημένοις, οὕτω καὶ Λαρισαίοις τοὺς ὑπὸ τῶν δημιουργῶν πεποιημένοις· εἶναι γάρ τινας λαρισοποιούς. ἔστι δ' ἁπλοῦν. εἰ γὰρ μετεῖχον κατὰ τὸν ῥηθέντα διορισμὸν τῆς πολιτείας, ἦσαν ἂν πολῖται. καὶ γὰρ οὐδὲ δυνατὸν ἐφαρμόττειν τὸ ἐκ πολίτου, ἢ ἐκ πολίτιδος, ἐπὶ τῶν πρώτων οἰκησάντων ἢ κτισάντων· ἀλλ' ἴσως ἐκεῖνο μᾶλλον ἔχει ἀπορίαν, ὅσοι μετέσχον, μεταβολῆς γενομένης πολιτείας· οἷον Ἀθήνησιν ἐποίησε Κλεισθένης μετὰ τὴν τῶν τυράννων ἐκβολήν. πολλοὺς γὰρ ἐφυλέτευσε ξένους καὶ δούλους μετοίκοις. τὸ δ' ἀμφισβήτημα πρὸς τούτους ἐστὶν, οὐ τίς πολίτης, ἀλλὰ πότερον ἀδίκως ἢ δικαίως. καίτοι καὶ τοῦτό τις ἔτι προσαπορήσειεν, ἆρ' εἰ μὴ δικαίως πολίτης, οὐ πολίτης· ὡς ταὐτὸ δυναμένου τοῦ τ' ἀδίκου καὶ τοῦ ψευδοῦς. ἐπεὶ δ' ὁρῶμεν καὶ ἄρχοντάς τινας ἀδίκως, οὓς ἄρχειν μὲν φήσομεν, ἀλλ' οὐ δικαίως· ὁ δὲ πολίτης ἀρχῇ τινι διωρισμένος ἐστίν· ὁ γὰρ κοινωνῶν τῆς τοιᾶσδε ἀρχῆς, πολίτης ἐστὶν, ὡς ἔφαμεν· δῆλον ὅτι πολίτας μὲν εἶναι φατέον καὶ τούτους.

Κεφάλαιον γ.

ΠΕρὶ δὲ τοῦ δικαίως ἢ μὴ δικαίως, συνάπτει πρὸς τὴν εἰρημένην πρότερον ἀμφισβήτησιν. ἀποροῦσι γάρ τινες, πόθ' ἡ πόλις ἔπραξε, καὶ πότε οὐχ ἡ πόλις·

A definitio ciuis, quod in aliis rebuspublicis non est indeterminata illa potestas, quæ in concione decernit & iudicat, sed determinata secundum iurisdictionem. horum enim, aut omnibus, aut quibusdam concessum est deliberare ac iudicare, vel de omnibus vel de quibusdam. Quis igitur sit ciuis, ex his patet. Cui enim habilitas est participandi potestatis publicæ deliberatiuæ & iudiciariæ, hunc ciuem esse B dicimus eius ciuitatis, ciuitatem verò talium multitudinem, quæ ipsa per sufficiēs sit, vt simpliciter dixerim, ad viuendum.

## CAPVT II.

COnsueuerunt autem eum etiam dicere ciuem, qui ex duobus ciuibus ortus sit, & non ex altero solum, ceu ex patre & matre: alij verò magis vltra requirunt, ceu C auos & proauos vel plures. His itaque definitis ciuiliter & succinctè, dubitant quidam, tertius ille aut quartus, quomodo erit ciuis. Gorgias quidem Leontinus partim dubitans fortasse, partim ludens, inquit: *Quemadmodum mortaria sunt illa quæ à factoribus mortariorum fiunt, sic Larissæos esse qui ab artificibus eorum fiunt, esse nanque aliquos Larissæorum factores.* Est autem simplex. si enim participarent administrationis reipublicæ secundum determinatio- D nem iam dictam, essent vtique ciues. Etenim neque possibile congruere definitionem illam primis conditoribus aut habitatoribus, vt ex patre matreque ciuibus sint exorti. Sed forsan de eo magis dubitari potest, cùm facta mutatione recipiuntur quidam ad communionem reipublicæ, quemadmodum Athenis fecit Clisthenes, post tyrannorum eiectionem. complures enim in tribus descripsit, pere- E grinos, & seruos, & inquilinos, de quibus dubitari potest non qui ciuis, sed an iustè vel iniustè. Atque de eo insuper quis dubitabit, an si non iustè ciuis, ne ciuis sit: quasi idem valeat iniustus & falsus. Sed cùm videamus quosdam iniustè se in magistratibus gerere, quos tamen magistratus esse dicimus, sed nequaquam iustè: ciuis autem potestate quadam definitus sit: (nam qui particeps est talis F potestatis, est ciuis, vt diximus:) patet quod hos quoque ciues esse dicendum est.

## CAPVT III.

IVstè autē vel iniustè, pertinet ad primā illam quæstionē, in qua quæritur nūquid à ciuitate factum sit, vel non à ciuitate,